σκειν τὴν στρατηγίαν. ¶ Καὶ ὅς, Ἐκ τοῦ αὐτοῦ, ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ
6 ἄλλο οὐδὲν ἐδίδαξεν. ¶ Ἀλλὰ μὴν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικὸν, καὶ ἐργαστικὸν, καὶ ἐπιμελῆ, καὶ καρτερικὸν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμὸν, καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε καὶ κλέπτην, καὶ προετικὸν καὶ ἅρπαγα, καὶ φιλόδωρον καὶ πλεονέκτην, καὶ ἀσφαλῆ καὶ ἐπιθετικὸν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ
7 δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. Καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου· ὥσπερ λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος, ἀτάκτως μὲν ἐρριμμένα, οὐδὲν χρήσιμά ἐστιν· ἐπειδὰν δὲ ταχθῇ κάτω μὲν καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθενται, τότε γίγνεται
8 πολλοῦ ἄξιον κτῆμα οἰκία. ¶ Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες, εἴρηκας. καὶ γὰρ

ἐν

ἄλλο οὐδὲν ἐδίδ.] Quantum pretium tacticae statuerint Graeci, intelligi potest ex iis, quae Folardus ad Polybium disputauit: qui ipse quoque omnia propemodum, in re militari, tacticae tribuit. *Ern.*

§. 6. πολλοστὸν μέρος] Conf. Cyrop. I, 6, 12 seqq. vbi est commentarius huius loci.

καὶ γὰρ παρασκ.] An excidit καὶ post γάρ? Antecedentia ita videntur exigere. *Ern.* Idem καὶ habuisse videtur in suo libro Bessario, qui vertit: *Imperatorem namque et praeparandi ea quae ad bellum conferant, expertum esse oportet.*

ἐπιστήμῃ δεῖ] MS. Stobaei non habet ἄ, ante δεῖ, quod mihi valde placet. ἔχειν bene cum ἄλλα π. coit, non cum εἶναι. Abest etiam ab ed. Stob. Veneta. Itaque deleui. *Ern.* Idem quoque dudum indicauit Brodaeus. Sed in Vatic. I. Florent. A. B. C. E. adest ἄ.

§. 7. συντίθενται] Sic Steph. sed in edd. vett. et ap. Stobaeum p. 361 est συντίθεται. vtraque lectio ferri potest; quamquam vulgata conuenit magis superioribus illis, vbi ἐρριμμένα quoque refertur ad omnia nomina antecedentia.

§. 8. πάνυ — ὅμοιον — εἴρηκας] *Similitudo, qua vsus es, admodum rei conuenit, s. rem egregie illustrat.* Eadem similitudine

vtitur